𝔊 κασί σου αἱ ἁμαρτίαι, ἃς ἐποίεις τὸ πρότερον [53]πιστευθεὶς ἀκού- 53
ειν καὶ κρίνειν κρίσεις θάνατον ἐπιφερούσας καὶ τὸν μὲν ἀθῷον
κατέκρινας, τοὺς δὲ ἐνόχους ἠφίεις, τοῦ κυρίου λέγοντος Ἀθῷον
καὶ δίκαιον οὐκ ἀποκτενεῖς· [54]νῦν οὖν ὑπὸ τί δένδρον καὶ ποταπῷ 54
τοῦ παραδείσου τόπῳ ἑώρακας αὐτοὺς ὄντας σὺν ἑαυτοῖς; καὶ
εἶπεν ὁ ἀσεβής Ὑπὸ σχῖνον. [55]εἶπεν δὲ ὁ νεώτερος Ὀρθῶς ἔψευ- 55
σαι εἰς τὴν σεαυτοῦ ψυχήν· ὁ γὰρ ἄγγελος κυρίου σχίσει σου
τὴν ψυχὴν σήμερον. [56]καὶ τοῦτον μεταστήσας εἶπε προσαγαγεῖν 56
αὐτῷ τὸν ἕτερον· καὶ τούτῳ δὲ εἶπεν Διὰ τί διεστραμμένον τὸ
σπέρμα σου, ὡς Σιδῶνος καὶ οὐχ ὡς Ιουδα; τὸ κάλλος σε ἠπά-
τησεν, ἡ μιαρὰ ἐπιθυμία· [57]καὶ οὕτως ἐποιεῖτε θυγατράσιν Ισραηλ, 57
καὶ ἐκεῖναι φοβούμεναι ὡμιλοῦσαν ὑμῖν, ἀλλ᾽ οὐ θυγάτηρ Ιουδα
ὑπέμεινε τὴν νόσον ὑμῶν ἐν ἀνομίᾳ ὑπενεγκεῖν· [58]νῦν οὖν λέγε 58
μοι Ὑπὸ τί δένδρον καὶ ἐν ποίῳ τοῦ κήπου τόπῳ κατέλαβες αὐ-
τοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶπεν Ὑπὸ πρῖνον. [59]καὶ εἶπεν 59
Δανιηλ Ἁμαρτωλέ, νῦν ὁ ἄγγελος κυρίου τὴν ῥομφαίαν ἕστηκεν
ἔχων, ἕως ὁ λαὸς ἐξολεθρεύσει ὑμᾶς, ἵνα καταπρίσῃ σε. [60–62]καὶ 60—62
πᾶσα ἡ συναγωγὴ ἀνεβόησεν ἐπὶ τῷ νεωτέρῳ, ὡς ἐκ τοῦ ἰδίου
στόματος ὁμολόγους αὐτοὺς κατέστησεν ἀμφοτέρους ψευδομάρτυ-

56 μιαρα Ra.] μικρα 88 Sy

---

θ′ νῦν ἥκασιν αἱ ἁμαρτίαι σου, ἃς ἐποίεις τὸ πρότερον [53]κρίνων 53
κρίσεις ἀδίκους καὶ τοὺς μὲν ἀθῴους κατακρίνων ἀπολύων δὲ
τοὺς αἰτίους, λέγοντος τοῦ κυρίου Ἀθῷον καὶ δίκαιον οὐκ ἀπο-
κτενεῖς· [54]νῦν οὖν ταύτην εἴπερ εἶδες, εἰπόν Ὑπὸ τί δένδρον εἶ- 54
δες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶπεν Ὑπὸ σχῖνον. [55]εἶπεν 55
δὲ Δανιηλ Ὀρθῶς ἔψευσαι εἰς τὴν σεαυτοῦ κεφαλήν· ἤδη γὰρ
ἄγγελος τοῦ θεοῦ λαβὼν φάσιν παρὰ τοῦ θεοῦ σχίσει σε μέσον.
[56]καὶ μεταστήσας αὐτὸν ἐκέλευσεν προσαγαγεῖν τὸν ἕτερον· καὶ 56
εἶπεν αὐτῷ Σπέρμα Χανααν καὶ οὐκ Ιουδα, τὸ κάλλος ἐξηπάτησέν
σε, καὶ ἡ ἐπιθυμία διέστρεψεν τὴν καρδίαν σου· [57]οὕτως ἐποιεῖτε 57
θυγατράσιν Ισραηλ, καὶ ἐκεῖναι φοβούμεναι ὡμίλουν ὑμῖν, ἀλλ᾽ οὐ
θυγάτηρ Ιουδα ὑπέμεινεν τὴν ἀνομίαν ὑμῶν· [58]νῦν οὖν λέγε μοι 58
Ὑπὸ τί δένδρον κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶ-
πεν Ὑπὸ πρῖνον. [59]εἶπεν δὲ αὐτῷ Δανιηλ Ὀρθῶς ἔψευσαι καὶ σὺ 59
εἰς τὴν σεαυτοῦ κεφαλήν· μένει γὰρ ὁ ἄγγελος τοῦ θεοῦ τὴν ῥομ-
φαίαν ἔχων πρίσαι σε μέσον, ὅπως ἐξολεθρεύσῃ ὑμᾶς. [60]καὶ ἀνε- 60
βόησεν πᾶσα ἡ συναγωγὴ φωνῇ μεγάλῃ καὶ εὐλόγησαν τῷ θεῷ
τῷ σῴζοντι τοὺς ἐλπίζοντας ἐπ᾽ αὐτόν. [61]καὶ ἀνέστησαν ἐπὶ τοὺς 61

54 ειδες 2°] κατελαβες A†: ex 58 || 56 η > Bpau. || 60 ανεβοησεν] -σαν A† | ευλογησαν] εβοησαν A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/873 UNIVERSITÄT LEIPZIG